# 01 NOIEMBRIE GHERASIMOS MIKRAGHIANANITUL

# ACATISTUL

## SF.IERARHI-MĂRTURISITORI FOTIE CEL MARE, PATRIARHUL CONSTANTINOPOLULUI GRIGORIE PALAMA, ARHIEPISCOPUL TESALONICULUI MARCU EVGHENIKOS, MITROPOLITUL EFESULUI



**ACATISTIERUL PE NOIEMBRIE-GR**


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# Χαιρετισμοί
# ΑΓΙΩΝ ΤΡΙΩΝ ΝΕΩΝ ΙΕΡΑΡΧΩΝ

## Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

Τοὺς τῆς Τριάδος ὑποφήτας καὶ θεράποντας, καὶ Ἐκκλησίας τοὺς προμάχους εὐφημήσωμεν, σὺν Φωτίῳ τὸν Γρηγόριον καὶ τὸν Μᾶρκον· ἀρετῇ γὰρ καὶ σοφίᾳ διαλάμψαντες, τῶν αἱρέσεων καθεῖλον τὰ φρυάγματα, οἷς βοήσωμεν· οὐρανόφρονες χαίρετε.

Ἄνωθεν φῶς ἔκλαμψαν, τῇ ἁγίᾳ ψυχῇ σου, ὦ Φώτιε σοφὲ Ἱεράρχα, διά σου πυρσεύει μυστικῶς, τῆς Ἐκκλησίας ἀεὶ τὰ πληρώματα· διό σε μακαρίζομεν, ἀναβοῶντές σοι τοιαῦτα·

Χαῖρε, δι᾽ οὗ φῶς θεῖον ἐκλάμπει·
χαῖρε, δι᾽ οὗ ἡ ἀπάτη στενάζει.
Χαῖρε, τῆς σοφίας πολύφωνον ὄργανον·
χαῖρε, τῆς ἀπάτης αἱρέσεων δρέπανον.
Χαῖρε, ὕψος θείας γνώσεως καὶ λειμὼν ἀμφιλαφής·
χαῖρε, βάθος ταπεινώσεως δι᾽ ἁγίας βιοτῆς.
Χαῖρε, ὅτι ὑπάρχεις Ὀρθοδόξων λαμπρότης·
χαῖρε, ὅτι τυγχάνεις Ἐκκλησίας στεῤῥότης.
Χαῖρε, φωστὴρ τῆς πίστεως πάμφωτος·
χαῖρε, λαμπτὴρ τῆς χάριτος ἄδυτος.
Χαῖρε, δι᾽ οὗ εὐσεβεῖς φωταυγοῦνται·
χαῖρε δι᾽ οὗ δυσσεβεῖς ἐκθαμβοῦνται.
Χαίροις Φώτιε πάνσοφε.

**Β**άσις Ἐκκλησίας, καὶ στῦλος Ὀρθοδοξίας, ἐδείχθης ὡς φωτὸς θείου πλήρης, Φώτιε Ἱεράρχα σοφέ, καὶ φωταυγεῖς οἰκουμένης τὰ πέρατα, καὶ συγκινεῖς τοὺς ἅπαντας, τῷ σὲ δοξάσαντι, κραυγάζειν·

Ἀλληλούϊα.

**Γ**νώσεως οὐρανίου πληρωθεὶς τὴν καρδίαν, καθαρὰς σεαυτὸν τῶν ἐνύλων, Γρηγόριε Πάτερ ἱερέ, Θεσσαλονίκης ποιμήν, ἀνηγόρευσαι· διό σου τὴν λαμπρότητα, θαυμάζοντες ἀναβοῶμεν·

Χαῖρε, φωτὸς τοῦ ἀΰλου πλήρης·
χαῖρε, ζωῆς ἐνάρετου μύστης.
Χαῖρε, ἐνεργείας ἄκτιστου διδάσκαλε·
χαῖρε, ἐν ἄγωσιν ἁγίοις ἰσάγγελε.
Χαῖρε, δένδρον τὸ κατάκαρπον τοῖς τοῦ Πνεύματος καρποῖς·
χαῖρε, σκεῦος εὐθηνούμενον ἐν χαρίσμασι πολλοῖς.
Χαῖρε ὅτι ἐπλήσθης οὐρανίου σοφίας·
χαῖρε, ὅτι συντρίβεις τὴν ἰσχὺν τῆς κακίας.
Χαῖρε, Χριστοῦ θεράπων θερμότατος·
χαῖρε, πιστῶν ποιμὴν γρηγορώτατος.
Χαῖρε, Θεὸν ὁλοτρόπως δοξάσας·
χαῖρε, ἐχθροῦ τὴν ὀφρὺν κατασπάσας.
Χαίροις Πάτερ Γρηγόριε.

**Δ**ύναμιν ἠμφιάσω, θεϊκὴν θεοῤῥῆμον, ἐν Ἄθῳ ὑπὲρ φύσιν ἀσκήσας, καὶ πρὸς ἀγῶνας ποιμαντικούς, ἀποδυθεὶς Γρηγόριε ἠρίστευσας, μυσταγωγῶν τὰ κρείττονα, τούς τῷ Κυρίῳ ἐκβοῶντας·

Ἀλληλούϊα.

Ἔλαμψας θεῖε Μᾶρκε, πολιτείᾳ ἀμέμπτῳ, καὶ ὤφθης Ἱεράρχης θεόφρων, καὶ θείῳ φέγγει καταυγασθείς, Ὀρθοδοξίας ἐκφαίνεις τὰς χάριτας, λαμπρύνων θείοις λόγοις σου, τοὺς ἐκβοῶντάς σοι τοιαῦτα·

Χαῖρε, ὁ λύχνος τῆς εὐσεβείας·
χαῖρε, ἡ πτῶσις τῆς δυσσεβείας
Χαῖρε, Ὀρθοδόξων ὁ μέγας διδάσκαλος·
χαῖρε, κακοδόξων ὁ κράτιστος ἔλεγχος.
Χαῖρε, ὅτι κατεβρόντησας τοὺς τῆς Δύσεως υἱούς·
χαῖρε, ὅτι ἐπεστήριξας τῆς Ἑῴας τοὺς βλαστούς.
Χαῖρε, Ὀρθοδοξίας θεοδώρητον σθένος·
χαῖρε, ἀθανασίας εὐθαλέστατον ἔρνος.
Χαῖρε, Χριστοῦ τὸ στόμα τὸ ἅγιον·
χαῖρε, πιστῶν τὸ γέρας τὸ ἄφθαρτον.
Χαῖρε, θεσμῶν ὑποφῆτα ἁγίων·
χαῖρε, παθῶν νικητὰ ὀλεθρίων.
Χαίροις Μᾶρκε Πατὴρ ἡμῶν.

Ζήλῳ ζήλων ἁγίῳ, τοὺς Χριστοῦ ἀποστόλους, ὦ Μᾶρκε Ἱεράρχα Κυρίου, Λατινικὴν καθεῖλες ὀφρύν, ἐν Φλωρεντίᾳ ἀτρέπτῳ φρονήματι, τοὺς δὲ πιστοὺς ἐπεύφρανας, βοῶντας σὺν σοὶ τῷ Κυρίῳ.

Ἀλληλούϊα.

Ἤλεγξας ἐν σοφίᾳ, Φώτιε θεηγόρε, ὡς ἄθεσμον καὶ ἔκφυλον πάντη, καὶ αἰτίαν σκανδάλων πολλῶν, τὴν ἐν τῷ ἁγίῳ Συμβόλῳ προσθήκην, τοὺς δὲ πιστοὺς ἐστήριξας, βοῶντάς σοι ἐν εὐφροσύνῃ·

Χαῖρε, ὁ ῥήτωρ τῆς εὐσεβείας·
χαῖρε, ἡ γλῶσσα τῆς ἀληθείας.
Χαῖρε, Παρακλήτου δοχεῖον ὑπέρτιμον·

χαῖρε, ἀπαθείας θησαύρισμα ἔνθεον.
Χαῖρε, κρήνη ἡ πολύῤῥυτος ἐξ Ἐδὲμ τῆς νοητῆς·
χαῖρε, φάσγανον ἀμφίστομον καθ’αἱρέσεως δεινῆς.
Χαῖρε, ὅτι παρέχεις Ὀρθοδόξοις τὸ νῖκος·
χαῖρε, ὅτι ἐκτρέπεις κενολόγων τὸ στῖφος.
Χαῖρε, κρατὴρ ναμάτων τῆς χάριτος·
χαῖρε, ᾠδὴ πιστῶν ἀκατάπαυστος.
Χαῖρε, δι’ οὗ ἡ ἀλήθεια φαίνει·
χαῖρε, δι’ οὗ Ἐκκλησία χορεύει.
Χαίροις Φώτιε πάνσοφε.

Θεολόγῳ σου γλώττῃ, τὴν νοθείαν ἐλέγχεις, Λατίνων ἐν τοῖς δόγμασι Πάτερ, ἔνθεν ὡς παιδευτὴν ἱερόν, ἡ Ἐκκλησία γεραίρει σε Φώτιε, καὶ τοῖς ἁγίοις πόνοις σου, σεμνυνομένη Θεῷ ψάλλει·
Ἀλληλούϊα.

Ἴθυνας τῷ Κυρίῳ, τὴν ἐν Θεσσαλονίκῃ, ἁγίαν Ἐκκλησίαν ὁσίως, Γρηγόριε θαυμαστέ, καὶ ὑπὲρ ταύτης κινδύνους ὑπέμεινας, διὸ πάντες ὑμνοῦμεν σε, καὶ μετὰ πόθου σοι βοῶμεν·
Χαῖρε, ποιμὴν τῆς Θεσσαλονίκης·
χαῖρε, φωστὴρ Ἐκκλησίας πάσης.
Χαῖρε, τοῦ ἀκτίστου φωτὸς ἐνδιαίτημα·
χαῖρε, Ὀρθοδόξων λαῶν τὸ διάδημα.
Χαῖρε ,ὅτι μωρὰν ἔδειξας τὴν σοφίαν Βαρλαάμ·
χαῖρε, ὅτι ἐμεγάλυνας τὴν ἐξ ὕψους δωρεάν.
Χαῖρε, Ἀρχιερέων ἐγκαλλώπισμα θεῖον·
χαῖρε, ἐπουρανίων συστοιχία χαρίτων.
Χαῖρε, παθῶν νεκρώσας τὴν δύναμιν·
χαῖρε, ἐχθροῦ πατήσας τὴν ἔπαρσιν.

Χαῖρε, σοφὲ οὐρανίων ἐκφάντωρ·
χαῖρε, Θεοῦ θεοφόρε θεράπων.
Χαίροις Πάτερ Γρηγόριε.

**Κ**αθελὼν ἐν Συνόδῳ, Βαρλαὰμ τὴν ἀπάτην, ἐν λόγου δυνάμει οὐρανίου, τοῖς πᾶσιν ὑπέδειξας σαφῶς, ὅτι ἄκτιστος ἦν ἡ ἐν Θαβὼρ ἔλλαμψις, Γρηγόριε πάνσοφε, σὺν τοῖς πιστοῖς Κυρίῳ ψάλλειν·
Ἀλληλούϊα.

**Λ**άμψας ἐκ τῆς Ἑῴας, ἐν τῇ Δύσει ὦ Μᾶρκε, ἠμαύρωσας Λατίνων τὰς ὄψεις, διὸ Εὐγένιος ὁ δεινός, οὐδὲν πεποιήκαμεν ἀνεφώνησεν· ἡμεῖς δὲ τὴν σὴν ἔνστασιν, ἀγάμενοι ἀναβοῶμεν·
Χαῖρε, Ἐφέσου ὁ ποιμενάρχης·
χαῖρε, ὁ ὅσιος Ἱεράρχης.
Χαῖρε, τῶν Λατίνων αἰσχύνας τὸ φρόνημα·
χαῖρε, τῶν Ἁγίων Συνόδων τὸ φώνημα.
Χαῖρε, ὅτι ἐν σοὶ ἤμβλυνται ἡ Ῥωμαϊκὴ ὀφρύς·
χαῖρε, ὅτι ἐν σοὶ ἥττηται ἡ αἱρετικὴ ἀχλύς.
Χαῖρε, Εὐαγγελίου ὁ σοφὸς ὑποφήτης·
χαῖρε, Ὀρθοδοξίας ὁ λαμπρὸς Χριστομύστης.
Χαῖρε, φωνὴ σεπτῶν παραδόσεων·
χαῖρε, πρηστὴρ κακίστων αἱρέσεων.
Χαῖρε, πυρσὸς Ὀρθοδόξων δογμάτων·
χαῖρε, κρουνὸς θεοβρύτων ναμάτων.
Χαίροις Μᾶρκε Πατὴρ ἡμῶν.

**Μ**έγας Ὀρθοδοξίας, προμαχὼν ἀνεδείχθης, καὶ στῦλος ἀῤῥαγὴς Ἐκκλησίας, ἐν μέσῳ Ἰταλίας σοφέ, μονώτατος

Μᾶρκε ἀγωνισάμενος, ὑπὲρ τῆς ὀρθῆς πίστεως, ψάλλων Θεῷ τῷ ἐν Τριάδι·

Ἀλληλούϊα

**Ν**όμους τῆς εὐσεβείας, θεορρήμονι γλώσσῃ, προθέμενος τῇ ποίμνῃ σου Πάτερ, ποικίλους ὑπέστης πειρασμούς, ἐν ἀνδρείᾳ καὶ ταπεινώσει Φώτιε· διὸ πάντες τιμῶμέν σε, καὶ ἐκβοωμέν σοι τοιαῦτα·

Χαῖρε, Ἑῴας τὸ θεῖον σέλας·
χαῖρε, ἁπάντων πιστῶν τὸ γέρας.
Χαῖρε, ἐν πάσῃ παιδείᾳ περίβλεπτος·
χαῖρε, Ἱεράρχης Χριστοῦ ὁ πολύσοφος.
Χαῖρε, σάλπιγξ θεοκίνητος διδαγμάτων ἱερῶν·
χαῖρε, ἥλιος πολύφωτος τῶν δογμάτων τῶν ὀρθῶν.
χαῖρε, ὅτι καθεῖλες Νικολάου τὸ θράσος·
χαῖρε, ὅτι παρέχεις Ὀρθοδόξοις τὸ κράτος.
Χαῖρε, ὁ νοῦς ὁ πλήρης ἐλλάμψεως·
χαῖρε ἀνὴρ ἐν πᾶσιν ἐξάκουστος.
Χαῖρε ὀξύς ἐν τῷ λέγειν καὶ γράφειν·
χαῖρε πραΰς ἀληθῶς ἐν τῷ πάσχειν.
Χαίροις Φώτιε πάνσοφε.

**Ξ**ένον ζῆλον ἐκτήσω, ἱερώτατε Πάτερ, ὑπὲρ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, ἥνπερ ἐν σοφίᾳ θαυμαστῇ, κατεκόσμησας Φώτιε πανθαύμαστε· διὸ φαιδρῶς γεραίρει σε, τῷ νυμφίῳ αὐτῆς βοῶσα·

Ἀλληλούϊα.

**Ὅ**λος λελαμπρυσμένος, ἀρετῶν ταῖς ἀκτῖσι, μετέστης πρὸς οὐρανῶν λῆξιν, τελέσας τὸν δρόμον ἱερῶς, ἱερώτατε

παμμάκαρ Γρηγόριε, πρεσβεύων τῷ Παντάνακτι, ὑπὲρ τῶν πίστει σοι βοώντων·

Χαῖρε, πολλοὺς κινδύνους ὑποίσας·
χαῖρε, ἐχθροῦ τὰς πάγας συντρίψας.
Χαῖρε, Ἐκκλησίας θεμέλιος ἄῤῥηκτος·
χαῖρε ,Ἀσωμάτων ἐν βίῳ ἐφάμιλλος.
Χαῖρε, ῥοῦς ὁ διειδέστατος σωτηρίου ἐκ πηγῆς·
χαῖρε, στόμα θεοφόρητον οὐρανίου διδαχῆς.
Χαῖρε, ὅτι ἰθύνεις ἀρετῶν πρὸς τὴν κτῆσιν·
χαῖρε, ὅτι μετέστης πρὸς οὐράνιον λῆξιν.
Χαῖρε, ζωῆς ἀφθάρτου συμμέτοχος·
χαῖρε, φθαρτῶν ἁπάντων ὑπέρτερος.
Χαῖρε, ἀεὶ ἐν Χριστῷ ζῶν καὶ γράφων·
χαῖρε, τὸ φῶς τῆς Τριάδος ἐκλάμπων.
Χαίροις Πάτερ Γρηγόριε.

**Π**όλις Θεσσαλονίκη, χαρμοσύνως τιμᾷ σε, πλουτοῦσά σου τὸ ἅγιον σκῆνος, καὶ πᾶσα ἡ Ἐκκλησία Χριστοῦ, μέγαν σε διδάσκαλον Πάτερ ἔχουσα, γεραίρει τὴν μνήμην σου, Γρηγόριε Θεῷ βοῶσα·

Ἀλληλούϊα.

**Ῥ**ητορεύων τὰ θεία τῆς Χριστοῦ Ἐκκλησίας, διδάγματα καὶ δόγματα Μᾶρκε, ἐν πυρίνῃ γλώσσῃ σου σοφέ, ἀποφιμοῖς Λατινικὴν ἐπίδειξιν· ἐντεῦθεν πᾶσα γλῶσσά σε, πιστῶν γεραίρει καὶ βοᾷ σοι·

Χαῖρε, ἡ γλῶσσα τῶν θεολόγων·
χαῖρε, ἡ πτῶσις τῶν κενολόγων.
Χαῖρε, Ὀρθοδόξων δογμάτων ἀνάπτυξις·
χαῖρε, κενοφώνων λημμάτων κατάργησις.
Χαῖρε, τεῖχος ἀπερίτρεπτον Ἐκκλησίας τοῦ Χριστοῦ·

χαῖρε, βάσις ἡ στερέμνιος τοῦ θεόφρονος λαοῦ.
Χαῖρε, ὅτι τὸν μέγαν ἀνεδέξω ἀγῶνα·
χαῖρε, ὅτι τὸ θεῖον κατεπλούτησας δόμα.
Χαῖρε, πιστῶν θεόσδοτος δύναμις·
χαῖρε, ἐχθρῶν τῆς πίστεως φίμωσις.
Χαῖρε, Χριστοῦ τὸν σταυρὸν ὁ βαστάσας·
χαῖρε, ἡμῶν τὰς ψυχὰς καταυγάσας.
Χαίροις Μᾶρκε Πατὴρ ἡμῶν.

**Σ**τήλη Ὀρθοδοξίας, ἡ σὴ θεολογία, ἐδείχθη ἱερώτατε Μᾶρκε· ἐν Πνεύματι γὰρ Ἁγίῳ, τὴν τῶν δογμάτων ἀναπτύσσεις ἀκρίβειαν, καὶ πᾶν ὀθνεῖον φρόνημα, ἀποτρέπεις Κυρίῳ ψάλλων·
Ἀλληλούϊα.

**Τ**ῇ πλημμύρα, τῆς θείας, καὶ λαμπρᾶς σου σοφίας, ἐπνίγη πᾶν ζιζάνιον Πάτερ, καὶ τὸ τῆς ἀληθείας φέγγος, πανταχοῦ διαλάμπει λαμπρῶς Φώτιε, ὑφ’ οὗ καταυγαζόμενοι, βοῶμέν σοι ἐν εὐφροσύνῃ·
Χαῖρε, τὸ φῶς τῆς Ὀρθοδοξίας·
χαῖρε, ὁ νοῦς τῆς θεολογίας.
Χαῖρε, Ἱεράρχα τρισμέγιστε Φώτιε·
χαῖρε, Ὀρθοδόξων ἀτίνακτε πρόβολε.
Χαῖρε, λύχνος παμφαέστατος οὐρανίων ἀρετῶν·
Χαῖρε, πέτρα ἡ στερέμνιος, κατὰ πάντα δυσμενῶν.
Χαῖρε, ὅτι ποικίλους πειρασμοὺς καθυπέστης·
Χαῖρε, ὅτι πρὸς δόξαν ἀφθαρσίας μετέστης.
Χαῖρε, σοφῶν Ἀποστόλων σύσκηνε·
Χαῖρε, στεῤῥῶν ἀθλοφόρων σύμμορφε.
Χαῖρε, σοφῶν διδαγμάτων πλημμύρα·
Χαῖρε, Θεοῦ χαρισμάτων κινύρα.

Χαίροις Φώτιε πάνσοφε.

**Ὕ**μνοις Πάτερ τιμῶμεν, τοὺς σεπτούς σου ἀγῶνας, οὕς ἔτλης ὑπὲρ τῆς Ἐκκλησίας, ὑπὲρ ταύτης γὰρ τὴν σήν ζωήν, τέθεικας προθύμως Φώτιε ἔνδοξε, ἔνθεν λαμπρῶς δεδόξασαι, παρὰ Κυρίου ᾧ καὶ ψάλλεις·
Ἀλληλούϊα.

**Φ**ωτὶ Πάτερ ἐγγίζων, τῆς Ἁγίας Τριάδος, καὶ τούτου δαψιλῶς ἀπολαύων, καὶ θέσει θεούμενος λαμπρᾷ, τῆς Ἐκκλησίας εὐλογεῖ τὸ πλήρωμα, Γρηγόριε πανθαύμαστε, κραυγάζον σοι ἐν εὐλαβείᾳ·
Χαῖρε, φωτὸς ἀϋλου ἐπόπτα·
χαῖρε, ζωῆς τῆς ἀλήκτου μύστα.
Χαῖρε, Τρισηλίου ἐλλάμψεως μέτοχε·
χαῖρε, Ἀσωμάτων Ἀγγέλων συνόμιλε.
Χαῖρε, σκήνωμα πολύφωτον ἐπιπνοίας θεϊκῆς·
χαῖρε, στήριγμα θεόδμητον Ἐκκλησίας τῆς σεπτῆς.
Χαῖρε, ὅτι τοῦ ξύλου τῆς ζωῆς ἀπολαύεις·
χαῖρε, ὅτι τὰς φρένας τῶν πιστῶν καταυγάζεις.
Χαῖρε, κλεινῶν Πατέρων ὡράϊσμα·
χαῖρε, σεπτῶν Ὁσίων καλλώπισμα.
Χαῖρε, φωστὴρ Μοναζόντων καὶ κλέος·
χαῖρε, πιστῶν Ὀρθοδόξων τὸ εὖχος.
Χαίροις Πάτερ Γρηγόριε.

**Χ**άριτος οὐρανίου, ὑποφήτης ἐδείχθης, ἀσκήσας ἐν τῷ ὄρει τοῦ Ἄθῳ, καὶ τὴν Ἐκκλησίαν μυσταγωγεῖς, τὴς νοερᾶς προσευχῆς τὰς χάριτας, ἱερουργὲ Γρηγόριε, δι᾽ ἧς Θεῷ ἀεὶ βοῶμεν·

Ἀλληλούϊα.

**Ψ**άλλων σὺν τοῖς Ἀγγέλοις, τὸν τρισάγιον ὕμνον, καὶ βλέπων τὸ ἀμήχανον κάλλος, ὦ Μᾶρκε Ἱεράρχα Χριστοῦ, ὑπὲρ ἡμῶν ἀπαύστως καθικέτευε, ὡς ἄν πάσης ῥυώμεθα, πλάνης καὶ βλάβης οἱ βοῶντες·

Χαῖρε, Κυρίου ὁ κληρονόμος·
χαῖρε, ὁ ἔνθεος θεολόγος.
Χαῖρε, καλλονὴ Ἐκκλησίας καὶ στήριγμα·
χαῖρε, χαρμονὴ Ὀρθοδόξων καὶ ὕμνημα.
Χαῖρε, Μᾶρκε ἱερώτατε εὐσεβῶν μυσταγωγέ·
χαῖρε ,πάσης θείας χάριτος ἡμῖν θεῖε χορηγέ.
Χαῖρε, ὁ νυμφοστόλος τῆς Χριστοῦ Ἐκκλησίας·
χαῖρε, ὁ ῥιζοτόμος πάσης κακοδοξίας.
Χαῖρε, χαρᾶς ἡμῖν θείας πρόξενε·
χαῖρε φωτὸς Τρισηλίου μέτοχε.
Χαῖρε πιστῶν Ὀρθοδόξων προστάτης·
χαῖρε ἀλκὴ Ἐκκλησίας ἁπάσης.
Χαίροις Μᾶρκε Πατὴρ ἡμῶν.

**Ὦ** Χριστοῦ Ἱεράρχαι, Φώτιε σὺν τῷ Μάρκῳ, ὁμοῦ καὶ Γρηγορίῳ τῷ θείῳ, τῇ Ἁγίᾳ Τριάδι ἀεί, ὑπὲρ τῆς Ἐκκλησίας πρεσβεύετε, ὡς ἂν πάσης αἱρέσεως, περιγίνηται ἐκβοῶσα·

Ἀλληλούϊα.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

**Τ**οὺς τῆς Τριάδος ὑποφήτας καὶ θεράποντας, καὶ Ἐκκλησίας τοὺς προμάχους εὐφημήσωμεν, σὺν Φωτίῳ τὸν Γρηγόριον καὶ τὸν Μᾶρκον· ἀρετῇ γὰρ καὶ σοφίᾳ διαλάμψαντες, τῶν αἱρέσεων καθεῖλον τὰ φρυάγματα, οἷς βοήσωμεν· οὐρανόφρονες χαίρετε.